ιβ Ἐν τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν
γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον, μεῖζόν ἐστι
τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευ-
ρῶν τετραγώνων, τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς
τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πί-
πτει, καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέ-
του πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ. Ἔστω ἀμβλυγώνιον τρί-
γωνον τὸ ΑΒΓ, ἀμβλεῖαν ἔχον τὴν ὑπὸ ΒΑΓ, καὶ ἤχθω ἀ-
πὸ τοῦ Β σημείου ἐπὶ τὴν ΓΑ ἐκβληθεῖσαν κάθετος ἡ ΒΔ.
λέγω ὅτι τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον, μεῖζόν ἐστι τῶν ἀ-
πὸ τῶν ΒΑ ΑΓ τετραγώνων, τῷ δὶς ὑπὸ ΓΑ ΑΔ περιεχο-
μένῳ ὀρθογωνίῳ. ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΔ τέτμηται ὡς
ἔτυχεν κατὰ τὸ Α σημεῖον, τὸ ἄρα ἀπὸ τῆς ΔΓ ἴσον ἐστὶ
τοῖς ἀπὸ τῶν ΓΑ ΑΔ τετ(ραγώνοις) καὶ τῷ δὶς ὑπὸ τῶν
ΓΑ ΑΔ περιεχομένῳ ὀρθογωνίῳ [illegible]
-θω τὸ ἀπὸ τῆς ΔΒ· τὰ ἄρα ἀπὸ [illegible] ἴσα ἐστὶ
τοῖς τε ἀπὸ τῶν ΓΑ ΑΔ ΔΒ καὶ τῷ δὶς ὑπὸ τῶν ΓΑ ΑΔ πε-
ριεχομένῳ ὀρθογωνίῳ. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΓΔ
ΔΒ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΓΒ· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γω-
νία· τοῖς δὲ ἀπὸ τῶν
ΑΔ ΔΒ ἴσον τὸ ἀπὸ τῆς
ΑΒ· τὸ ἄρα ἀπὸ τῆς ΓΒ
τετράγωνον ἴσον ἐστὶ τοῖς
τε ἀπὸ τῶν ΓΑ ΑΒ τετρα-
γώνοις καὶ τῷ δὶς ὑπὸ
τῶν ΓΑ ΑΔ περιεχομέ-

νῳ ὀρθογωνίῳ· ὥστε τὸ ἀπὸ τῆς ΓΒ τετράγωνον τῶν
ἀπὸ τῶν ΓΑ ΑΒ τετραγώνων μεῖζόν ἐστι τῷ δὶς ὑπὸ τῶν
ΓΑ ΑΔ περιεχομένῳ ὀρθογωνίῳ. Ἐν ἄρα τοῖς ἀμβλυ-
γωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνί-
αν ὑποτεινούσης πλευρᾶς τετράγωνον μεῖζόν ἐστι τῶν
ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν
τετραγώνων τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν
περὶ τὴν ἀμβλεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ
τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς
τῇ ἀμβλείᾳ γωνίᾳ· ὅπερ ἔδει δεῖξαι.

ιγ Ἐν τοῖς ὀξυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀξεῖαν
γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον, ἔλαττ-
όν ἐστι τῶν ἀπὸ τῶν τὴν ὀξεῖαν γωνίαν περιεχουσῶν
πλευρῶν τετραγώνων, τῷ περιεχομένῳ δὶς ὑπό τε
μιᾶς τῶν περὶ τὴν ὀξεῖαν γωνίαν ἐφ' ἣν ἡ κάθετος
πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐντὸς ὑπὸ τῆς κα-
θέτου πρὸς τῇ ὀξείᾳ γωνίᾳ. Ἔστω ὀξυγώνιον τρίγω-
νον τὸ ΑΒΓ, ὀξεῖαν ἔχον τὴν πρὸς τῷ Β γωνίαν· καὶ
ἤχθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ.
λέγω ὅτι τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον, ἔλαττόν ἐστι τῶν
ἀπὸ ΓΒ ΒΑ τετραγώνων, τῷ δὶς ὑπὸ τῶν ΓΒ ΒΔ περι-
εχομένῳ ὀρθογωνίῳ. ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓΒ τέτμη-
ται ὡς ἔτυχεν κατὰ τὸ Δ, τὰ ἄρα ἀπὸ τῶν ΓΒ ΒΔ τε-
τράγωνα, ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΓΒ ΒΔ περιε-
χομένῳ ὀρθογωνίῳ, καὶ τῷ ἀπὸ τῆς ΔΓ τετραγώ-
νῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΔΑ τετράγωνον.